# 03 SEPTEMBRIE

# SLUJBA SF.IERARH-MUCENIC ANTIM AL NICOMIDIEI

# ATENA,1890


Ὁ ἍΓΙΟΣ
ἌΝΘΙΜΟΣ
Ὁ ΝΙΚΟΜΗΔΕΙΑΣ

www.tezaurliturgic.ro



# ΤΗι 3η ΣΕΠΤΕΜΒΡΙΟΥ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΑΝΘΙΜΟΥ

### ΕΠΙΣΚΟΠΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ

**Εἰς τὸν μικρὸν Ἑσπερινόν.**

**Ἦχος α΄.**

Ὢ τοῦ παραδόξου θαύματος, ὁ φωστὴρ ὁ λαμπρός, Ἄνθιμος ὁ πάνσοφος, καθῆλε νεανικῶς ὄφιν τὸν δόλιον, ἐν σταδίῳ λαμπρῶς, Χριστὸν κηρύξας Θεὸν ὑπερτέλειον, παντοίας ὑπὲρ αὐτοῦ, ὑπενεγκὼν κακουχίας καὶ μάστιγας, καὶ τελειωθεὶς ἐνθέως, δόξης κατηξίωται, τῆς ἀῤῥήτου καὶ θείας Ἱεραρχίας ὡς θεόληπτος.

**Δές.**

Ὢ τοῦ παραδόξου θαύματος, ὁ στεῤῥὸς ἀθλητής, Ἄνθιμος ὁ ἔνδοξος, τυράννων καὶ ἀπειλάς, καὶ πᾶσαν μάστιγα, ἡγήσατο, ὡς οὐδέν, ὑπὲρ ἀγάπης Χριστοῦ ὁ πανένδοξος, ἀθλήσας καρτερικῶς, τοὺς δυσμενεῖς ἀνδρικῶς κατεπάλαισε, καὶ εἰς οὐρανοὺς ἐν δόξῃ μαρτυρίου πτέρυξιν, ἀναπτὰς ὑπὲρ πάντων, ἱκετεύει τὸν φιλάνθρωπον.

Τὴν σὴν πανένδοξον ἄθλησιν, γηγενῶν τὰ στίφη, σεπτῶς μακαρίζουσιν, ὑμνοῦντες πανευσεβῶς, Χριστὸν τὸν Κύριον, τὸν κόσμῳ σὲ θαυμαστόν, καὶ θεηγόρον λαμπρὸν ἀναδείξαντα, λαμπτῆρα φωταγωγόν, Ἱερομάρτυς Πανεύφημε Ἄνθιμε, διὸ πόθῳ σου τελοῦντας, τὴν ἁγίαν κοίμησιν, ἀπημάντους συντήρει, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Δόξα ἦχος α΄.**

Πανσεβάσμιε πάτερ, Ἱερομάρτυς πανένδοξε, Νικομηδέων τὸ ἐγκαλλώπισμα, καὶ τοῦ κόσμου προστάτα θερμότατε, ἐν

μέσῳ βασιλέων καὶ τυράννων παναοίδιμε, παῤῥησίᾳ ἑστὼς ἐκήρυξας τὸν Χριστὸν Θεὸν ὑπερούσιον, σάρκα δι' ἡμᾶς εἰληφότα, σταύρωσιν καὶ ταφὴν ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐν δόξῃ ὡς Θεὸν παντοδύναμον, ὃν ἱκέτευε Ἄνθιμε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον.**

Τὰ ἀπόστιχα ζήτει εἰς τὴν ἑορτήν.

**Δόξα ἦχος πλαγ. β'.**

Σήμερον ἐξέλαμψε, πιστοί, ἡ φωτοειδὴς μνήμη τοῦ Ἱερομάρτυρος Ἀνθίμου, συγκαλοῦσα ἡμᾶς πρὸς εὐωχίαν μυστικήν, δεῦτε οὖν ἐγκωμίοις καὶ ἄνθεσι καταστέψωμεν αὐτὸν λέγοντες· χαίροις ὁ τῶν Νικομηδέων φωστήρ, Μάρτυς καὶ ποιμήν, χαίροις ὁ τὸ ὅπλον τοῦ Σταυροῦ ἀνδρείως ἀναλαβών, καὶ τὸν νοητὸν Γολιάθ, Δαβιτικῶς καταγωνισάμενος, καὶ ἀριστεύσας γενναίως καὶ τὸν τῆς νίκης στέφανον παρὰ τοῦ ἀγωνοθέτου κομισάμενος Χριστοῦ, ὃν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον.**

**Τρισάγιον καὶ ἀπόλυσις.**

ΣΗΜΕΙΩΣΙΣ. — Τὰ μὲν Στιχηρὰ τοῦ Ἑσπερινοῦ, ἡ Λιτὴ καὶ τὰ ἀπόστιχα μετὰ τῶν δοξαστικῶν, φέρουσιν Ἀκροστιχίδα, Ἄνθιμος, Ἀργυροπολίτης Γαβρᾶς. Ὁ δὲ κανὼν ἔχει· «*Τὸν Ἱεράρχην ἅμα μάρτυρα Θεῖον εὐφημῶ.*»

www.tezaurliturgic.ro

*Ἐν τῷ Μεγ. Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν τό: Μακάριος ἀνήρ.—εἰς τὸ κύριε ἐκέκραξα τὰ προσόμοια.*

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Ἄνθη πολύτιμα ὄντως αἱ ἀρεταί σου σοφέ, καὶ δι᾿ αὐτῶν, δοξάσας ἐπὶ γῆς διὰ βίου, τὸν Κύριον τῆς δόξης κηρύξας τρανῶς, κατ᾿ ἀξίαν ἐδόξασας, καὶ ἰαμάτων ἐδείχθης θεία πηγή, Ἄνθιμε πανόλβιε.



Νικομηδέων ἡ πόλις ἡ πάλαι εὔφημος, χαῖρε εὐφαίνου, σὺ γάρ, δισμυρίων μαρτύρων, αἷμα συνεφοινίχθης, ἀλλὰ καὶ νῦν τὸν ἐκείνων διδάσκαλον, καὶ Ἱεράρχην καὶ θεῖον ὑφηγητήν, ἐκληρώθης σοφὸν Ἄνθιμον.

Θεοῦ τὸν ἄναρχον λόγον καὶ προαιώνιον, τὸν πάντα συντηροῦντα, θεϊκῇ ἐξουσίᾳ, σὺ ἔσχηκας τῷ ὄντι μυσταγωγόν, ἀπλανῆ παναοίδιμε, διὸ μνημόνευε Ἄνθιμε καὶ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων σε.

Ἱερωτάτη χορείᾳ τῶν Ἱεραρχῶν τοῦ Χριστοῦ, Ἄνθιμε τρισμάκαρ συνετάγης, ἐν ταύτῃ, ὡς θειότατον φῶς ἐκ θεοῦ ἐκλεχθείς, ἱεράρχα τρισόλβιε, μεθ᾿ ἧς δυσώπει ἀπαύστως τὸν λυτρωτήν, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Μαρτυρικὴ πανδαισία πρόκειται σήμερον, δεῦτε οὖν δι᾿ ᾀσμάτων, εὐφρανθῶμεν ἐνθέως, τερπνότητι ὑμνοῦντες τὸν ἀθλητήν, καὶ ἀήττητον Ἄνθιμον, καὶ ἀριστέα λαμπρότατον τοῦ Χριστοῦ, φιλεόρτων τὰ συστήματα.

Ὁ ἀνθώνυμος μάρτυς καὶ θεῖος Ἄνθιμος, ὡς ἀπολαύσων ῥόδων, δόξης ἐπουρανίου, ἀνέτλη τὰς ἀκάνθας διὰ πυρὸς καὶ βασάνων δριμύτητος, καὶ εὐωδίας πληροῦται τῆς μυστικῆς, θεῷ νῦν παριστάμενος.

www.tezaurliturgic.ro

**Δόξα. Ἦχος πλαγ. β΄.**

Σήμερον πνευματικὴν χορείαν συγκροτοῦντες, πνευματικῶς πανηγυρήσωμεν, καὶ ᾀσματικῶς ἑορτάσωμεν. Σήμερον πρόκειται ἡμῖν πανδαισία οὐράνιος, πλήρης δόξης καὶ εὐφροσύνης, εὐφραίνουσα τὰς καρδίας τῶν ἐκ πόθου προσερχομένων αὐτῇ· τράπεζα θεία ὄντως, ἐν ἄνθεσιν ὡραϊζομένη, καὶ κρίνα εὔοσμα, ἀρετῶν ἐνθέων βρίθουσα Ἀνθίμου τοῦ τρισμάκαρος. Εὐωχηθῶμεν τοίνυν φιλέορτοι, καὶ τῷ συγκαλέσαντι ἡμᾶς βοήσωμεν. Πάρεσο ἐν μέσῳ ἡμῶν ἅγιε, καὶ δεῦρο στῆθι μεθ᾽ ἡμῶν, ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** *Τίς μὴ μακαρίσει σε.*

*Εἴσοδος· τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.*

www.tezaurliturgic.ro



## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα, καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει· Κύριος ὁ Θεός, ὁ Λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ, ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας· καὶ τὸ διάδημα τοῦ κάλλους, ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον,

ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν.

Οὗ ἡ ἀκροστιχίς, Ἀργυροπολίτης.

**Ἦχος α'.**

Ἀγάλλου ἐν Κυρίῳ πόλις Νικομηδείας, ἀπόδυσε τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσε· σήμερον ὡς ἔαρ νοητόν, τὸν πολιοῦχον πλουτεῖς θαυμαστὸν Ἄνθιμον, τὸν λαμπρὸν Ἱεράρχην καὶ μάρτυρα· ἀντίπαλον τῆς ἀσεβείας, καὶ τῆς εὐσεβείας ὑπέρμαχον. Ἰατρὸν ἀδάπανον, τὸν τὰ δυσώδη πάθη ἀποδιώκοντα ψυχῶν τε καὶ σωμάτων· ὄντως ὡς ῥόδον εὐῶδες μυστικῶς ἐξήνθησεν, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἡμῶν. Ὅθεν ἡμᾶς εὐωδιάζει, Κυρίου εὐωδία ἐγένετο· καὶ πρεσβεύει αὐτῷ, ἐλεηθῆναι τὰς ψυχὰς τῶν ἐν πίστει τελούντων αὐτοῦ τὴν πανήγυριν.

### Ἦχος β΄.

Ῥητορεύεις εὐγλώττως τοῦ Κυρίου τὴν σάρκωσιν, παρανόμων τυράννων ἐνώπιον· τὰς ἀπειλὰς τῶν τυράννων, καὶ βασάνους ὡς σκύβαλα ὑπὸ τοὺς πόδας σου κατεπάτησας· οὗτοι γὰρ οἱ δόλιοι τὴν γενναίαν σου καρτερίαν ἰδόντες κατησχύνθησαν· ὄντως ἀδαμάντινος καὶ στεῤῥὸς ἐδείχθης, στεῤῥὸς μὲν διὰ τῆς ἀθλήσεως, λαμπρὸς δὲ διὰ τῆς χάριτος, ἣν ἔσχες ὡς θεῖος Ἱεράρχης θεομακάριστε Ἄνθιμε, ὥσπερ κρῖνον εὐῶδες ἐβλάστησας, διὰ τοῦ μαρτυρίου· ὡς ἄνθος εὔοσμον ἐξήνθησας, ὡς Ἱερὸς λαοῦ



προϊστάμενος, ὡς τοῦ Κυρίου θεράπων γενόμενος, καὶ τῶν παθῶν τοῦ χριστοῦ μιμούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος γ΄.

Γέγονας κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, Ἱεράρχα Χριστοῦ, καὶ ἡ παντοδύναμος χάρις εὑροῦσα τὴν Ἱεράν σου ψυχήν, θεοχαρίτωτε Ἄνθιμε, τὰς βασάνους ὑποστάς, ἀφορήτους ὀδύνας διέμεινας στεῤῥός, ὥσπερ πάσχοντος ἄλλου· τὰ τραύματα ὡς ῥόδα παρέβλεψας· τὰ ἕλκη ὡς ἄνθη παραδείσου εὐωδιάζοντα ἐκ τοῦ σώματός σου ἐξήνθησαν· τὸ αἷμα ὡς μῦρον ἐξέχεας, τὸ εὐωδιάζον πᾶσαν τὴν ὑφήλιον, ἀφορῶν πρὸς τὰ μέλλοντα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ σοὶ ἐχαρίσατο· ἵνα καὶ τὸ ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπέδωκας, τοῖς πάσχουσι πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ πρεσβεύεις τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

### Ἦχος δ΄.

Ὑψώθητι Νικομηδέων ἡ μεγαλούπολις, πᾶσα πόλις καὶ χώρα συνεορτάζει σήμερον, ἐπὶ τῇ μνήμῃ τοῦ σεβασμίου αὐτῆς πολιούχου· καὶ γὰρ τὰ πέρατα τῆς γῆς κροτεῖ ἐπευφραινόμενα, τῇ νῦν πανηγύρει τοῦ Ἱερομάρτυρος. Οὕτω καὶ ἡμεῖς τοῖς ᾄσμασιν, ὡς ἄνθεσι στεφάνους πλέξαντες ἐκβοήσωμεν. Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων· ἡ θυσία καὶ θύτης, ὁ Ἱερεὺς καὶ Ἱερεῖον. Σοῦ δεόμεθα σὺν τοῖς συνάθλοις σου, Χριστὸν τὸν Θεόν, Ἄνθιμε ἱκέτευε· τὴν ποίμνην σου ταύτην ἐκ τῶν βαρβάρων λύκων λυτρωθῆναι, καὶ τῆς Οὐρανίου μάνδρας ἀξιωθῆναι.

### Ἦχος πλάγ. α΄.

Ῥητορεύεις τὴν ἄναρχον γέννησιν, εἰς τὸ ποίμνιόν σου ἐν τῇ ἡμέρᾳ τῶν γενεθλίων Χριστοῦ, καὶ τὰς τῷ Θεῷ ἀναιμάκτους θυσίας, ὑπὲρ τοῦ Λαοῦ σου προσφέρων, καὶ Ἱερωσύνης στολισμῷ διαπρέπων· ὅθεν ἐν μέσῳ Ἐκκλησίας, σάλπιγξ μεγαλόφω-

www.tezaurliturgic.ro



νος, ἐδείχθης, ἐπιστηρίζων αὐτοὺς εἰς τὸ μαρτύριον. Θυσία ἑκουσίως προσηνέχθης, διὰ τῆς γενναίας σου ἀθλήσεως· ἄνθος νοητόν, καὶ κρῖνον Εὔοσμον, Ἱερομάρτυς Ἄνθιμε. Διὸ καὶ τοὺς στεφάνους ὡς ἄνθεσι διπλοῦς κομισάμενος, διπλῆν τὴν χάριν ἔσχες παρὰ τοῦ στεφοδότου Θεοῦ, ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

**Ἦχος πλάγ. β'.**

Ὅλῳ τῷ φωτὶ τῆς Τριάδος, μετ' εὐφροσύνης προσχωρήσας, ὁ Θεὸς δὲ ζώσῃ φωνῇ ἐκάλεσε, θεοφόρε Ἄνθιμε. Ὅθεν πρὸς οὐρανὸν βαδίζεις καὶ εἰς τὸν ἄδυτον γνόφον τοῦ ἀφράστου φωτός, εἰσδύσας νοητῶς. Ὡς μάρτυς καὶ ποιμὴν ἐμυήθης, τὰ ἀπόρρητα τῶν μυστηρίων Θεοῦ. Ὡς μάρτυς μὲν φωτιζόμενος, ὡς ποιμὴν δὲ μυσταγωγούμενος· δι' ὃ καὶ ἐν λαμπηδόνι τοῦ παραδείσου οἰκεῖς, καὶ ταῖς χοροστασίαις τῶν Ἀγγέλων συναυλιζόμενος, ὄντως διπλοῦς καὶ τοὺς στεφάνους ὡς ἄνθη, ἐκ τῆς ἄνω δόξης ἐνεδύσω· πρεσβεύων πάντοτε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος βαρύς.

Πόλις Νικομηδέων πᾶσα, σήμερον χαίρουσα, ἐνδόξως τὴν μνήμην ἐκτελοῦσα, τοῦ βλαστοῦ Ἀνθίμου ποιμένος σου, καὶ συγκαλοῦσα τὰ στίφη τῶν φιλεόρτων, μετὰ ᾀσμάτων φαιδρῶς ἀγαλλομένη, ὅτι τὸ αἷμα αὐτοῦ ἐκχυθὲν ἡ γῆ μὲν ἐδέξατο, τὸ δὲ πνεῦμα εἰς οὐρανοὺς ἀνεκομίσθη, τοῖς θείοις συναγάλλεσθαι πνεύμασιν. Ὅθεν εὐφραίνου καὶ σκίρτησον γηθοσύνως, τὸν πολιοῦχον ἔχουσα ἀθλητὴν τὸν γενναῖον, καὶ Ἀγγέλοις συνόμιλον, καὶ διατηροῦντά σε βλάβης τοῦ δυσμενοῦς ἀνωτέραν, καὶ νῦν ὑπὲρ ἡμῶν μνημονεύει, καὶ πρεσβεύει ἀεὶ τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος πλάγ. δ'.

Ὅλως γλυκὺς ὑπάρχει τὸ ἦθος, τῇ προαιρέσει ἀγαθός, τοῦ τρόπου συμμέτοχος, τῶν Ἀποστόλων Χριστοῦ, τῇ πράξει συνέκδημος, συγκακουχῶν σὺν αὐτοῖς, ἀμαράντινε ἄνθος εὔοσμον,

www.tezaurliturgic.ro



καὶ πολύαθλε Ἄνθιμε. Ἔλαμψας ἐν τῷ κόσμῳ ὡς ἀστὴρ ἐκ τῆς ἑῴας, τὸν λαὸν ἐφώτισας, καὶ τοῖς πιστοῖς ῥήμασιμελιῤῥύτοις στηρίζων, εὐωδιάσας πᾶσαν τὴν ἐκκλησίαν, φαίνων θαυμάτων σου, βολαῖς, τῶν λυπηρῶν ἐκλυτρούμενος, ὡς Σεπτὸς ἱεράρχης, ἤσχυνας ἐναθλήσας, τῶν εἰδώλων τὴν πλάνην, καὶ γὰρ ἐστέφθης οὐκ ἐκ λίθων τιμίων, ἀλλ' ἐξ οἰκείων αἱμάτων διηνθισμένος· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, παθῶν ἡμᾶς ἐλευθέρωσον, ταῖς πρὸς θεὸν εὐπροσδέκτοις δεήσεσιν.

### Ἦχος πλάγ. α'.

Λαμπρύνεται σήμερον, ὡς ἔαρ εὐφρόσυνον ἡ πάνσεπτός σου ἑορτή, ἐν μετοπώρῳ καρδίας ἐκτέρπουσα τῇ διηγήσει τῶν ἄθλων σου, Ἱερομάρτυς Ἄνθιμε. Ἱερέων χρῖσμα Ἅγιον κεχρισμένος, καὶ ὡς ἱερεὺς τοῦ Κυρίου, ἐνδυσάμενος δικαιοσύνην· καὶ κατηγλαϊσμένος τῷ σεπτῷ μαρτυρίῳ, χαίρων προσεχώρησας Ἁγίων εἰς Ἅγια. Ὅθεν δικαίως ἀγάλλεις, καὶ περιχαρῶς συλλειτουργεῖς τοῖς ἄνω λειτουργῶν. Εὐχὰς δὲ ἀναπέμπων πρὸς Κύριον, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε. Οὓς περίσωζε διὰ παντὸς ἀπημάντους, ἐκ τῶν δεινῶν προσβολῶν τοῦ ἐχθροῦ ῥυόμενος, κινδύνων καὶ περιστάσεων· οὐδέν σοι ἀδύνατον ὡς παῤῥησίαν ἔχων πρὸς Θεόν, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος πλάγ. β΄.

Ἱερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτισας, μακαριώτατε καὶ θεοπρόβλητε Ἄνθιμε. Ἱερουργῶν γὰρ τὰ θεῖα, καὶ ἄῤῥητα μυστήρια, τὸ αἷμα ὡς μῦρος εὐῶδες ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον αὐτῷ προσήγαγες, καὶ ὡς εὐσεβείας ἐραστὴς ἐναθλήσας ὑπὲρ τοῦ Κυρίου, καὶ ὡς καλλίνικος παρέστης τῆς Ἁγίας Τριάδος. Ὅθεν ἐξ ἀκηράτων ἀνθέων ἐστέφθης παρ᾽ αὐτῆς, καὶ μετὰ Ἀγγέλων ἐν οὐρανοῖς συναγάλλει· ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν Ἅγιε, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.



### Δόξα ἦχος βαρύς.

Τοὺς πόδας πυροῦσθαι δεινῶς ἀθλητά, συνθλὰς τὴν κάραν ἀσάρκου δυσμενοῦς, τῇ θείᾳ χάριτι λύσας, πᾶσαν δαιμόνων ἀπάτην· σεαυτὸν γὰρ παρέδωκας, ὡς ὁ Χριστὸς τοῖς ζητοῦσι, καὶ πρὸς σφαγὴν ἠνέχθης ὥσπερ κριὸς ἐπίσημος, καθαγιάζων τῷ αἵματι πάντας τοὺς σὲ τιμῶντας. Δεῦτε οὖν φιλέορτοι, καὶ φιλόχριστοι, τὰ ἄνθη τῶν ἀρετῶν δρεψάμενοι, καθαροῖς συνειδόσι βοήσωμεν, ἐν ὕμνοις καὶ ᾠδαῖς μελῳδίαις, στεφάνους πλέξωμεν τοῦ Σεβασμίου Πατρός, ὄντως στεφηφορῶν ὑπέρτιμος, καὶ Ἱερεὺς ἐγκοσμούμενος, ὡς μάρτυς ἀήττητος, καὶ Ἱεράρχης πανσέβαστος, Ἄνθιμος ὁ ἔνδοξος, Νικομηδείας τὸ ἄνθος, καὶ ὀρθοδόξων ἡ δόξα, καὶ νῦν οἰκεῖ ἐν λαμπηδόνι τοῦ Παραδείσου καὶ πρεσβεύει ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν ἦχος πλάγ. δ'.**

Ἡ σοφία τοῦ Θεοῦ, ὡς ἔμψυχον κιβωτὸν σὲ ἐξέλεξε, Θεοχαρίτωτε Δέσποινα· τὸ Πανάγιον Πνεῦμα, ἐν σοὶ κατεσκήνωσεν, ἀειπάρθενε Κόρη· ὁ συναΐδιος λόγος τοῦ Πατρός, ἐκ σοῦ ἀνεβλάστησε, Θεοτόκε Μαρία· ὁ πρὸ ἑωσφόρου ἐκ Πατρός, ἀμήτωρ γεννηθείς, ἐπὶ γῆς ἀπάτωρ ἐσαρκώθη ἐκ σοῦ, Πανάσπιλε ἀμόλυντε. Ὁ Ἄναρχος ὑπὸ σοῦ ἀρχὴν δέχεται, καὶ ἡ ἀόρατος φύσις ἐκ σοῦ συνάπτεται τοῖς βροτοῖς, Παντάνασσα Πανύμνητε, ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται, καὶ ἡ ἄπειρος οὐσία ἐν Ἱερουσαλήμ, τὸ ἑκούσιον πάθος εἴληφεν, ἵνα ἡμᾶς ἀνάγῃ εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἡ σωτηρία τοῦ κόσμου, ὑπὸ σοῦ ἀνέτειλειν ἡμῖν, χαῖρε νύμφη ἀνύμφευτε. Καὶ νῦν ἡμεῖς σὺν τοῦ πανολβίου Ἀνθίμου, ἀσυγκρίτως σὲ μακαρίζομεν, μεσίτευσον ὑπὲρ ἡμῶν πρὸς τὸν ἐκ σοῦ τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα. Οὗ ἡ ἀκροστοιχίς.

Γαβρᾶς.

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Γεύσασθε φιλέορτοι πάντες, τὴν μακαρίαν τροφήν, ἐκ μυστι-

κῆς τραπέζης, εὐωδέστατον ἄρτον· Ἄνθιμος Ἱεράρχης ἀνθήσας παντί, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζει γὰρ χάριτι τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος ἐκοινώνησε.

ΣΤ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος.......

Ἀγαλλιᾶται ἡ κτίσις ἐπὶ τῇ μνήμῃ σου, ἐκ μυστικῆς λειβάδος εὐωδέστατον κρῖνον, Ἄνθιμε θεοφόρε, Νικομηδέων ποιμήν, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζεις γὰρ χάριτι τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος ἐκμιμούμενος.

ΣΤ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς.......

Βίον ὁσίων διῆλθες, Νικομηδέων ποιμήν, Ἄνθιμε, ὁ εὐφραίνων, μὲ ἀνθέων εὐώδη, καρδίας τεθλιμμένων εὐώδαις ὀσμαῖς, τῆς αὐτοῦ Ἱερότητος, καὶ τῶν ἀπείρων θαυμάτων σου δωρεῶν, ἀπολαύων τοὺς τιμῶντάς σε.

**Δόξα ἦχος πλάγ. α΄.**

Ῥητορεύεις τοῦ Κυρίου τὴν ἄφραστον γέννησιν, ἐνώπιον Βασιλέων καὶ τυράννων, καὶ τὴν ἔνσαρκον οἰκονομίαν τρανώσας, ἐν τῷ σταδίῳ τοῦ μαρτυρίου ἑστὼς γενναίως ὑπὲρ τῆς εὐσεβείας, καλῶς ἀγωνισάμενος. Καὶ τροχῷ προσδεσμούμενος, θλιβερῶς, καὶ λαμπάσι πανταχόθεν ἐντόνως φλεγόμενος· αἴφνης ἔστη ὁ τιμωρῶν σε. Ἀλλ' ὑπὸ σοῦ δοξαζόμενος τρισήλιος Θεός, πέμπει τρεῖς λευκοφόρους ἀγγέλους, θεράπων Θεοῦ φαιδρῶς σε ἐκάλουν. Ὅθεν παραδόξως ἀκλινὴς ὡράθης, καὶ κυλίονται πρὸς πίστιν τῷ θαύματι, οἱ τῶν ἀπίστων δῆμοι· σὺ θερμοτέραν δὲ ἀνέπεμπες τῷ Θεῷ ὑμνῳδίαν, καὶ τὴν δρόσον ὡς οἱ παῖδες ἐξ ὕψους δεχόμενος, θεομακάριστε Ἄνθιμε· διὰ τοῦ μαρτυρίου, ἤνθησας, καὶ τὸ αἷμά σου ὡς μῦρον κενωθέν, εὐώδιασε πᾶσαν τὴν οἰκουμένην· καὶ νῦν ἐν οὐρανοῖς τῷ θρόνῳ παριστάμενος τῆς Ἁγίας Τριάδος, αἴτησαι πρεσβείαις σου, τοὺς ἐκ πόθῳ εὐφημοῦντας, τὴν πανσέβαστον μνήμην σου.

**Καὶ νῦν, ὁ αὐτός.**

Ἄσατε λαοί, τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ συνεκάλεσεν ἡμᾶς ἡ ἁγία Θεοτόκος, ἐν τῇ ἐτησίῳ καὶ φαιδρᾷ πανηγύρει, τοῦ Πανολβίου καὶ Θεοφόρου Ἀνθίμου. Ὅθεν διὰ τοῦ ἐξ αὐτῆς τεχθέντος Χριστοῦ τοῦ Θεοῦ, ἐνεκρώθη ἑκουσίως, καὶ τὸ ζωηφόρον πάθος αὐτοῦ μιμούμενος· διὸ τὴν εἴσοδον τοῦ παραδείσου ἔτυχε, καὶ τὴν ἀγήρω ζωὴν ἀπέλαυεν, ἐν ᾗ χορεύων μετὰ Ἀγγέλων, καὶ ἀνθέων ἐστέφθη, εἰς τὰς θείας σκηνώσεις. Δεῦτε οὖν φιλέορτοι, τῇ Θεοτόκῳ βοήσωμεν· χαίροις ἡλιόμορφε ἡλίου ἄδυτον ὄχημα, τὸν ἀπερινόητον ἥλιον λάμψασα, χαίροις νοῦς ἀστράπτον θείαις φρικτωρείαις, ἡ λαμπηδὼν τῆς ἀστραπῆς, ἡ διαυγάζουσα τῆς οἰκουμένης τὰ πέρατα· ἡ ὄντως χρυσαυγίζουσα, ἡ πάγκαλος καὶ πανάμωμος· ἡ τὸ φῶς τὸ ἀνέσπερον τοῖς πιστοῖς ἐξαστράψασα· παντάνασσα Πανύμνητε Εὐλογημένη Θεοτόκε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

ΑΣΤΡΑΤ

**Ἀπολυτίκιον, ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς ποίμνης σου θεόφρων στεῤῥὸς προστάτης γενόμενος, ὑπὲρ αὐτῆς ἑτοίμως, τὸ σὸν αἷμα ἐξέχεας, μὴ πτοηθεὶς τὰς ἀπειλὰς τῶν δυσμενῶν, ἐν οὐρανοῖς νῦν ἀγάλλει, τῷ θρόνῳ τῆς τρισηλίου θεότητος παριστάμενος· δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ, δόξα τῷ σὲ στεφανώσαντι Χριστῷ, δόξα τῷ σὲ δοξάσαντι θείῳ πνεύματι, Ἄνθιμε τρισόλβιε.

**Δόξα καὶ νῦν.**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί. Δόξα

www.tezaurliturgic.ro



τῷ προελθόντι ἐκ σοῦ. Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολογίαν κάθισ. Ἦχος α'.

**Τὸν τάφον σου σωτήρ.**

Τὸ αἷμά σου σοφέ, μυστικῶς ἀνεβόα, ἐκ γῆς πρὸς τὸν Θεόν, ὡς τοῦ Ἄβελ θεόφρων· σαφῶς γὰρ ἐκήρυξας, τὴν τριάδα τὴν ἄκτιστον· ὅθεν Ἄνθιμε, ποιμαντικῶς διαπρέψας, ἀπεδίωξας, τας τῶν αἱρέσεων θήρας, ὡς φύλαξ τῆς πίστεως.

**Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μαρία, τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γαρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

www.tezaurliturgic.ro

Μετὰ τὴν β΄. στιχολογ. κάθισ. Ἦχος δ΄.

**Κατεπλάγη Ἰωσήφ.**

Ἐκ Θεοῦ προχειρισθείς, ποιμὴν προβάτων λογικῶν, ἤχθης ὡς πρόβατον Χριστοῦ, πρὸς τὴν σφαγὴν προσκαρτερῶν, τὴν τῶν φονευτῶν σου μανίαν φρικωδεστάτην· τυπτόμενος καὶ γαρ καὶ τιτρωσκόμενος, σιδήροις καὶ τροχῷ κατακοπτόμενος, τὴν κεφαλὴν ἐτμήθης, χειρὶ δημίου. Διό σε ὄντως ὡς ἀριστέα, ὁ Χριστὸς ἐστεφάνωσε.

**Δόξα τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ὄντως ξένον τὸ ἐν σοί, καὶ ὑπὲρ φύσιν ἀληθῶς· ὅτι ἐν χρόνῳ τὸν Θεόν, σάρκα λαβόντα δι' ἡμᾶς, ἀνερμηνεύτως ἐκύησας, Θεοτόκε· καὶ γέγονας ἡμῖν τῆς σωτηρίας ἀρχή, ὁδεύειν εὐμαρῶς πρὸς τὰ οὐράνια· καὶ διὰ σοῦ οἰκήτορας, καὶ φίλους πάλιν γενέσθαι Θεοῦ, τῆς μακαρίας, καὶ αἰωνίου, Βασιλείας τῶν οὐρανῶν.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλαιον. Κάθισ. Ἦχος πλ. δ'.

**Τὴν σοφίαν καὶ λόγον.**

Ἀποστόλων ζηλώσας τρόπους σοφέ, ὡς διάδοχος θρόνων ἀναδειχθείς, τοῖς πᾶσιν ἐκήρυξας, τα σωτήρια δόγματα, καὶ μαρτύρων πλήθη, προσῆξας ἀοίδιμε, τῷ Δεσπότῃ πάντων, ποιμὴν οἷα ἄριστος, ὅθεν καὶ τὴν χάραν, τὴν τιμίαν ἐτμήθης, καὶ χάριν ἀπείληφας, ἀπελαύνων νοσήματα, Ἱερώτατε Ἄνθιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Ὁ τῶν ὅλων δεσπότης καὶ ποιητής, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών, προστάτην σε ἔδειξε, τῶν ἀνθρώπων πανάμωμε, δια τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεόμεθα, ἵνα πίστει βοῶμέν σοι· πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι πᾶσι κόρη ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ σου.

**Οἱ ἀναβαθμοί.**

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου προκείμενον. Ἦχος δ΄.

Στ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Στ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

**Πᾶσα πνοή.**

**Τὸ Εὐαγγέλιον τοῦ ὄρθρου.**

**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει. Ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπο-

λέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ, ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοί διακονῇ τις, ἐμοὶ ἀκολουθήτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ. Εἶπεν οὖν τοῖς ὄχλοις ὁ Ἰησοῦς. Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ εἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

**Ὁ Ν'. δόξα ἦχος β'.**

Σήμερον σκιρτῶσιν οἱ δῆμοι τῶν Μαρτύρων, καὶ ἀγάλλονται Ἱεράρχαι, σὺν ἡμῖν γεραίροντες, τὴν μνήμην σου τρισμάκαρ, Ἄνθιμε πολύαθλε, Νικομηδέων κλέος.

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

Στίχ. Ἐλέησόν με ὁ Θεός.

**Τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.**

Κατεβλήθη τῇ γενναίᾳ σου ἐνστάσει, ὁ προστάτης τοῦ Ἅδου, καὶ θρηνῶν τὴν ἧτταν γοερῶς, τὰ σπλάγχνα τιτρώσκεται· οἴμοι· λέγων! ὅτι ὁ Υἱὸς τῆς Παρθένου, τῷ οἰκείῳ αὐτοῦ πάθει, πολὺ τὸ πάθος τῇ καρδίᾳ μου ἐνθείς, πολλοὺς ἔσχε τοῦ αὐτοῦ πάθους μιμητάς· μεθ' ὧν Ἱεράρχα, καὶ αὐτὸς μιμητὴς γενόμενος, τῷ οἰκείῳ σου πάθει, τὸ πάθος τοῦ ἐχθροῦ ὑπερηύξησας. Διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, παθῶν ἡμᾶς ἐλευθέρωσον ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις σου δεήσεσιν.

*Ὁ κανὼν τῆς Θεοτόκου εἰς ς΄. καὶ τοῦ ἁγίου, οὗ ἡ ἀκροστοιχίς.*

*Τὸν Ἱεράρχην ἅμα μάρτυρα θεῖον εὐφημῶ.*

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Ταῖς φωταυγαῖς ἀστραπαῖς τοῦ Πνεύματος ὡς φωτιζόμενος, φωτιστικῇ λάμψει, τῆς ψυχῆς τὰ ὄμματα, φώτισον τὴν πώρωσιν, τῆς καρδίας μου παῦσον, ὅπως ἀξίως ὑμνήσω σου, μνήμην τὴν πανίερον, ἔνδοξε Ἄνθιμε.

www.tezaurliturgic.ro



Ὅλως γενναίως, ἀνδρικῷ φρονήματι, ἀντιταττόμενος τῷ ματαίῳ καὶ τυράννῳ δράκοντι, τὰς βδελυρὰς καὶ θεοστυγεῖς, εἰδώλων θυσίας, τὰς τούτου ἐξεμυκτήρισας, καὶ Θεὸν τῶν ὅλων ἐδόξασας Ἄνθιμε.

Νικοποιῷ τῷ διὰ σοῦ τοὺς ἄφρονας, καταβάλλοντι λαμπρῶς, ἐν τῇ ἀθλήσει τῇ λαμπρᾷ σου, ἔνδοξε, τῷ ἀθανάτῳ παμβασιλεῖ, Χριστῷ Ἱεράρχα, εὐχαριστίαν προσφέρομεν, αἶνον ἐπινίκιον ᾄδοντες Ἄνθιμε.

**Θεοτοκίον.**

Ἱερωτέραν τῶν ἁγίων ἅπαντες, ἐνδοξοτέραν ὁμοῦ, τῶν ἀΰλων ἀσωμάτων τάξεων, ἐν κατανύξει πανευλαβῶς, ψυχῆς σε τιμῶμεν, καὶ μετὰ πόθου δοξάζομεν, Χαῖρε Θεοτόκε πανύμνητε δέσποινα.

**Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Εὐσεβοφρόνῳ λογισμῷ, καὶ σταθερᾷ διανοίᾳ, πρὸς βασάνων ἀπετόλμησας πεῖραν, αἰκιζόμενος σφοδρῶς, καὶ μαστιξὶ τυπτόμενος, καὶ ἀηττήτῳ γνώμῃ, ἀκλόνητος ἔμεινας Ἄνθιμε.

Ῥοαῖς αἱμάτων Ἱερῶν, Ἱερωτάτην πορφύραν, ἐπεχρύσωσας γενναῖε ὁπλῖτα, καλλυνόμενος λαμπρῶς, καὶ ὅλως διαπρέπων ἐν τῷ κόσμῳ ὤφθης, τρισμέγιστος ἔνδοξε Ἄνθιμε.

Ἀνηλεῶς παντοδαπαῖς ἐγκαρτερῶν ταῖς βασάνοις, καὶ τὸν τένοντα θλαττόμενος ὅλως, ὀβελίσκοις σιδηροῖς, κρηπῖσι πυρακτωθείσαις, τούτοις εὐτόλμως ἐχώρησας ἔνδοξε Ἄνθιμε.

**Θεοτοκίον.**

Ῥίζης φυεῖσα Ἰεσσαί, καὶ δειχθεῖσα ὡς δένδρον, καρπὸν ἅγιον ἐγέννησας ὄντως, τὸν Υἱὸν τὸν τοῦ Θεοῦ, δουλείας τοῦ ἀλάστορος, τοὺς πάντας λυτρωσαμένη, διό σε πάντες μεγαλύνομεν.

**Κάθισμα. Ἦχος πλ. δ΄. τὴν σοφίαν καὶ λόγον.**

Τῶν ἡλίου ἀκτίνων μᾶλλον φανείς, ἀπαστράπτεις δὲ φέγγει μαρτυρικῷ, Ἄνθιμε μακάριε, Ἱερέων εὐπρέπεια, τῶν μαρτύρων

κλέος, πιστῶν ἀγαλλίαμα, δυσσεβῶν δὲ πάντων ἀντίπαλος μέγιστος, ὅθεν ἐπαξίως μακαρίζοντες πάντες, συμφώνως γεραίρομεν, καὶ τιμῶμέν σε ἔνδοξε, δυσωποῦντες βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας πανάχραντε· ἐν ἐμοὶ θαυμάττωσον τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον· καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

### Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Χριστὸν ἐν σοί, ἐνδυναμοῦντα μακάριε, ὅλως ἔχων, ἄτρωτος διέμεινας, εἰς καταισχύνην τῶν δυσσεβῶν, καύχημα καὶ κλέος, ὀρθοδοξίας, ἣν ἔδειξας, νικῶν ἐν πᾶσι τούτους, θείαν τε καὶ ἁγίαν, καὶ νικητὴν τοῦ πολεμήτορος.

Ἤχθης δεινῶς, πρὸς τὰς βασάνους τερπόμενος, ἐν σταδίῳ ἀφειδῶς τὸ σῶμά σου, τοῖς μιαιφόνοις παραδιδούς, Ἄνθιμε τρισμάκαρ, τῇ ἐκκοπῇ μελιζόμενον, τεμνόμενον ὡς δένδρον, ὑπ' αὐτῶν, ὅπως θάλῃ, τῇ φυτείᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Νεανικῶς ἐγκαρτερῶν ἀοίδιμε, ταῖς βασάνοις, χαίρων ἐναπέδωκας, τὴν παναγίαν καὶ ἱερὰν ψυχήν σου τὴν θείαν, Θεοῦ εἰς χεῖρας πολύαθλε· νικήσας τὸν βαλόντα, καὶ Θεοῦ ἀποστάντα, καὶ βραβεῖα τῆς νίκης δεξάμενος.

#### Θεοτοκίον.

Ἄχραντε σὺ τοῦ Βασιλέως Παλάτιον, Βασιλείας Οὐρανῶν ἀξίωσον, τοὺς εὐσεβῶς καὶ ὡς ἀληθῶς, ἐπικαλουμένους, τὴν

ἄμαχόν σου βοήθειαν, βοήθησον Παρθένε, καὶ ῥῦσαι πάσης βλάβης, ὅπως σὲ πάντες μακαρίζομεν.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Μακρυνθεὶς τῆς φιλίας, τοῦ γαιηροῦ σώματος, πλείστων δια πόνων, ᾠκειώθης Θεῷ πανοικτίρμονι, τῷ ἡμᾶς δι᾽ οἶκτον, πεφιληκότι δὲ καὶ ἑκουσίως παθόντι, καὶ τοὺς πάντας παθῶν ἐκλυτρώσαντι.

Αἱ πορεῖαί σου μάκαρ, ὄντως εὐθυνόμεναι εἰς τρίβους ὤφθησαν, εἰς ὁδοὺς πανσόφως, μαρτυρίου δι᾽ οὗ καλλυνόμενος, σιδηραῖς κρηπῖσι, καθηλωμένος τοῦ Βελίαρ, κεφαλὴν καὶ τὰ κέντρα συνέτριψας.

Ματαιόφρων ᾐσχύνθη, ἐκ τῶν θεοπνεύστων σου λόγων ἐνστάσεων, δι᾽ ὧν ἐξηλέγχθη, ἡ δυσσέβεια τούτου καὶ ἄνοια, ἣν καὶ κατεστρέψω, σθένει παμμάκαρ καὶ δυνάμει, τοῦ τὴν φύσιν ἡμῶν καινουργήσαντος.

**Θεοτοκίον.**

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε, ἄχραντε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, ἀποῤῥήτῳ βουλήματι τέτοκας· ὅθεν κατὰ χρέος, χρεωστικῶς σε ἀνυμνοῦμεν, ὡς Μητέρα Θεοῦ καὶ δοξάζομεν.

**Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι σωτήρ.**

Ῥημάτων σου τῶν σοφῶν, τὴν ἐκκλησίαν ἐπλήρωσας, ῥοαῖς τῶν σῶν Ἱερῶν, αἱμάτων ἡγίασας, Τρισόλβιε Ἄνθιμε, κλεινὸν αὐτῆς πέδον· ὅθεν πόθῳ γὰρ δοξάζει σε.

Τιμᾷ σου χρεωστικῶς, καὶ ἐτησίως τὴν μνήμην σου, γεραίρει δὲ τοὺς λαμπρούς, ἀγῶνάς σου Ἄνθιμε, ἐκκλησία ἅπασα, ἡ τῶν Ὀρθοδόξων, ἧς τὴν δόξαν ἐμεγάλυνας.

Ὕλης παθῶν ζοφερῶν, κεκαθαρμένην ἀνάδειξον, ψυχήν μου τὴν ταπεινήν, εὐχαῖς σου πρὸς Κύριον, Ἱεράρχα Ἄνθιμε· ἔχων παῤῥησίαν, ἀκαταίσχυντον, πολύαθλε.

### Θεοτοκίον.

Ῥημάτων τοῦ Γαβριήλ, ἐν τῇ γαστρί σου συνέλαβες, τὸν ἕνα ὄντως Θεόν, καὶ τοῦτον ἐγέννησας, ἐν χρόνῳ τὸν Ἄχρονον, Υἱὸν γεννηθέντα, ἐκ πατρός, τὸν Προαιώνιον.

### Κοντάκιον Ἦχος δ'. ὁ ὑψωθείς.

Ἐν ἱερεῦσιν εὐσεβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τῆς σῆς ποίμνης θεόφρων· διό σε καὶ γεραίρουσα, μυστικῶς ἐκβοᾷ σοι, ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς σαῖς πρεσβείαις, πατὴρ ἡμῶν Ἄνθιμε.

### Ὁ οἶκος.

Ἐνθεὶς γνῶσιν θεϊκήν, τὸν ζόφον τῆς ἀγνοίας ἐκ τῆς ἐμῆς καρδίας, ἀπέλασον εὐχαῖς σου, ὅπως ὑμνήσω σου πιστῶς τὴν ἁγίαν μνήμην, ἐν ᾗ ἀγγέλων χοροί, μετὰ Μαρτύρων σήμερον εὐφραίνονται ἐνθέως, καὶ ἄνθρωποι, ὕμνοις ἐγκωμίων τὴν σὴν κάραν, ὥσπερ ἄνθη συμπλέξαντες, στέφουσιν ἀξίως, αἰτοῦντες παρὰ σοῦ λαβεῖν, τῶν πταισμάτων ἀποχήν, καὶ τῶν κακῶν τοῦ βίου λύσιν, καὶ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ῥυσθῆναι, ταῖς σαῖς πρεσβείαις, Πατὴρ ἡμῶν Ἄνθιμε.

### Τῷ αὐτῷ μηνὶ Γ'. τοῦ ἁγίου Ἱερομάρτυρος Ἀνθίμου ἐπισκόπου Νικομηδείας.

Στιχ. Τμηθεὶς κεφαλὴν μάρτυς Ἄνθιμε ξίφει,
Καὶ νεκρὸς ἀνθεῖς καὶ Θεῷ διαμένεις,
Ἄνθιμον ἐν τριτάτῃ ἀπέκτεινε ξίφος ὀξύ.

**Ὠδὴ ζ. Θεοῦ συγκατάβασιν.**

Ἀγάπη φλεγόμενος, τοῦ σοῦ Δεσπότου καλῶς διήνυσας, τοὺς μεγίστους ἀγῶνας τοῦ μαρτυρίου σου, Μάκαρ Ἄνθιμε, καὶ νῦν ἀγάλλῃ γηθόμενος ἔνδοξε, ἐν οὐρανίαις μοναῖς νῦν αὐλιζόμενος.

Θεοῦ ἐφιέμενος, ἰδεῖν τὴν δόξαν τὴν ἀνεκλάλητον, τῶν δεσμῶν τοῦ σαρκίου, διὰ βασάνων καὶ πολυπλόκων δεινῶν, τὴν

(α) Λαμία εἶναι ζῶον ἁρπακτικὸν μὲ μεγάλον λαιμόν, μὲ τὸ ὁποῖον παρομοιάζει ἐνταῦθα ὁ στιχουργὸς τὸν Διάβολον.



λύσιν τούτων εὐκόλως ἐνήργησας, εὐλογητὸς ἐκβοῶν ὁ τῶν Πατέρων Θεός.

Ἑκούσιον θάνατον, τὸν τοῦ θανάτου κράτος συντρίψαντα, ἐκμιμούμενος μάκαρ, ὑπέστης, ὅλως ἀπείρου χαρᾶς, καὶ εὐφροσύνως αὐτῷ ἀνεκραύγαζες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον.**

Ἱκέσιον δέησιν, ὑπὲρ ἡμῶν ἀεὶ Δέσποινα, τῷ Υἱῷ καὶ Θεῷ σου, ὡς Μήτηρ οὖσα, αὐτῷ δὴ προσάγαγε. Σὲ γὰρ προστάτιν εὐμενῆ πρὸς αὐτὸν προβαλλόμεθα· ῥῦσαι τοὺς πάντας πειρασμῶν καὶ πάσης θλίψεως.

### Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ὅλως φαιδρὸς παρίστασο τῷ τυράννῳ κρινόμενος, καὶ τὴν ἀθεΐαν μυκτηρίζων πάνσοφε, σοφοῖς σου διδάγμασι, καὶ θεοφθόγγοις λόγοις σου, καὶ τὴν οἰκουμένην συγκαλῶν τε πρὸς αἶνον, Χριστοῦ, βοῶν τοῖς πᾶσιν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νικομηδείας ἔπληξας, τοὺς λαοὺς ἐν τοῖς ἄθλοις σου, ἐναθλῶν γενναίως, καὶ νικῶν ἀπτοήτως τοῖς λόγοις σου, τυράννων ὠμότητα, καὶ ἀπειλὰς ἃς ἔτρεψας, χλεύην τῶν πολλῶν καὶ πιστῶν παῤῥησίαν, βοῶν ἀκαταπαύστως, Ἱερεῖς εὐλογεῖτε, πιστοὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἔχων θερμὴν πεποίθησιν, πρὸς τὸν Κύριον ἔνδοξε, τοὺς ἐγκαυχωμένους ἐν τοῖς τούτων ἅρμασιν, ἀνδρείως κατέστρεψας, καὶ ὁλοσκεύους ἔπνιξας, ὡς ἐν τῷ βυθῷ τοῦ Ἰσραὴλ τοὺς διώκτας, Μωσῆς ἐν τῇ θαλάσσῃ, σὺν αὐτῷ ἀνακράζων, λαὸς δοξολογεῖτε Θεὸν εἰς τοὺς αἰῶνας.

### Θεοτοκίον.

Ὑμνῶ, ὃν βρέφος τέτοκας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἄχραντε Παρθένε, συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν,

καὶ σὲ τὴν τοῦτον γεννήσασαν, ἀνυμνολογῶν ἀκαταπαύστως κηρύττω, Μητέρα Θεοῦ ζῶντος, ὃν πρέσβευε Κυρία, σὺν τῷ κλεινῷ Ἀνθίμῳ πάντοτε.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Φερώνυμον τὴν κλῆσιν Πάτερ λαβών, ἄνθη τίμια Ἄνθιμε ἐβλάστησας τῶν ἀρετῶν, ὄντως εὐωδίασας τοὺς ἐν γῇ, ἐν οἷς καὶ τὸ πολύαθλον σῶμά σου, ὡς κρήνην καταλιπών, θαυμάτων παραδόξων, θεραπεύεις τὰ πάθη, τῶν μετὰ πόθου προσιόντων σοι.

Ἡλίου τηλαυγέστερον δαδουχεῖ, ἡ σεβάσμιος μνήμη σου Ἄνθιμε, ἐν ᾗ φαιδρῶς, ἔξαρχος χορεῖαι Ἱεραρχῶν, καὶ τῶν Μαρτύρων τέρπονται, καὶ συνεορτάζομεν καὶ ἡμεῖς, οἱ πόθῳ σὲ τιμῶντες, τρισμάκαρ Ἱεράρχα, Νικομηδείας σεμνολόγημα.

Μνημόνευε Ἄνθιμε καὶ ἡμῶν, σεβομένων τὴν θείαν σου ἄθλησιν, καὶ πρὸς Θεόν, εὔχου τοῦ ῥυσθῆναι πάντας ἡμᾶς, τῶν ὀδυνῶν καὶ θλίψεων, τῶν ἐπερχομένων διηνεκῶς, φυγεῖν δὲ τῶν μελλόντων, ἐν ὥρᾳ καταδίκης, ἀκατακρίτους, ἡμᾶς ποίησον.

**Θεοτοκίον.**

Ὡς εὔδιον λιμένα καὶ γαληνόν, τὴν πρεσβείαν σου ἔχοντες πάντοτε, ῥῦσαι ἡμᾶς, ἐκ τῆς τρικυμίας τῶν πονηρῶν, πνευμάτων καὶ ἀπάλλαξον, ἐκ τῆς αἰωνίου καὶ ζοφερᾶς, κολάσεως τοὺς πάντας καὶ ποίησον μετόχους, τοῦ Παραδείσου ἀειπάρθενε.

**Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.**

Ἀγγελικαῖς δυνάμεσι, καὶ Μαρτύρων χορείαις, Ἱερομάρτυς ἔνδοξε, συγχορεύεις τῷ θρόνῳ τῆς ὑπερφώτου Τριάδος, καὶ λαμπραῖς ταῖς ἐκεῖθεν, αὐγαῖς περιχεόμενος, αἴτει φῶς καὶ εἰρήνην, τοῖς εὐσεβῶς, ἐκτελοῦσι μνήμην σου τὴν φωσφόρον, καὶ σὲ φαιδρῶς δοξάζουσιν, Ἄνθιμε Θεοφόρε.

**Θεοτοκίον.**

Τριάδος Κόρη τέτοκας, ἀποῤῥήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει. Τοῦ-

τον οὖν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῶν πίστει σε προσκυνούντων, ἐκ πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

**Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. Ἱστῶμεν στιχ. δ'. καὶ ψάλλομεν Στιχηρ. προσόμοια Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων.**

Ἀγαλλιᾶται ἡ κτίσις ἐπὶ τῇ μνήμῃ σου, Ἄνθιμε Θεοφόρε, καὶ σὺν ἀγγέλοις Πάτερ, παρεστὼς παῤῥησίᾳ, τῷ θρόνῳ τοῦ Κυρίου, τοῖς ἐπὶ γῆς, ἑορτάσαι προτρέπεις ἀεί, ἐν ὕμνοις πνευματικῶς, τὴν ἡμέραν τὴν σεβάσμιον.

Τῶν φιλεόρτων τὰ πλήθη, φαιδρὰν πανήγυριν, ἐν ᾄσμασι κροτοῦντα, εὐλαβῶς τοῦ Ἀνθίμου, τοῦ θείου ἀριστέως τιμῶντα λαμπρῶς, πρὸς Θεὸν ἀναπέμψατε, δόξαν καὶ αἶνον, τὸν δόντα νίκην αὐτῷ, καὶ μεγάλως θαυμαστώσαντα.

Νικομήδεια ἀγάλλου, σὺν τοῖς οἰκήτορσι, καὶ τέρπου ἐν τῇ μνήμῃ, τοῦ λαμπροῦ σου Ἀνθίμου· τιμῶσα κατὰ χρέος τὴν Ἱεράν, καὶ σεπτὴν αὐτοῦ ἄθλησιν, ἔχεις γὰρ τοῦτον πρὸς Κύριον ὑπὲρ σοῦ, ἐκτενῶς καθικετεύοντα.

Τῶν μαθητῶν τοῦ Κυρίου, σεπτὸς διάδοχος, καὶ τοῦ Εὐαγγελίου κῆρυξ ὁμοῦ καὶ μύστης, ἐγένου Θεοφόρε ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα ἐξέχεας, ὅθεν μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην πιστῶς.

Χαῖρε καὶ σὺ Βιθυνία, ἐν σοὶ ἐβλάστησε, τὸ θεῖον τοῦτο ἄνθος, Ἄνθιμος ὁ εὐφραίνων, καρδίας τεθλιμμένων, εὐῶδες ὀσμαῖς, τῆς αὐτοῦ Ἱερότητος, καὶ τῶν ἀπείρων θαυμάτων ταῖς δωρεαῖς, ὡς πλουσίως πᾶσι δίδωσι.

Δίδου κἀμοὶ σῷ οἰκέτῃ τὴν εὐλογίαν σου, καὶ σύγγνωθί μοι Πάτερ, εὐλαβῶς εὐφημοῦντι, ἐν ταύτῃ τῇ πανδήμῳ τῶν εὐσεβῶν, πανηγύρει, καὶ ῥῦσαί με, ἐκ τῶν τοῦ βίου κινδύνων καὶ πειρασμῶν, τοῦ ἀλάστορος ἀπάλλαξον.

**Δόξα Ἦχος πλαγ. α'.**

Σήμερον, ὡς ἔαρ εὐφρόσυνον, ἐπέλαμψεν ἅπασα ἡ τοῦ Χρι-

www.tezaurliturgic.ro



στοῦ ἐκκλησία, πανηγυρίζουσα φαιδρῶς, κροτοῦσι δῆμοι ἁγίων, καὶ χοροὶ μαρτύρων ἀγάλλονται· πεφοινιγμένη γὰρ τῇ στολῇ τῆς Ἱεραρχίας, ἐν τῷ αἵματι τῆς ἀθλήσεως, καὶ δι᾽ αὐτῶν αἰωνίως, τῆς ἀθανάτου δόξης ἔτυχον. Ὢ δόξης οὐρανίου! δι᾽ ἧς ἐμεγαλύνθησαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· προεξάρχει τῆς χορείας, ὁ ἔνδοξος Ἱεράρχης Ἄνθιμος, τῆς Νικομηδείας τὸ θεόβλαστον ἄνθος, τὸ κρῖνον τὸ εὔοσμον, τὸ εὐωδιάζον πᾶσαν τὴν Βιθυνίαν, τῆς Ἱεραρχίας τὸ καύχημα, ὁ προστάτης τῆς ἐκκλησίας, καὶ ποιμενάρχης τῆς εὐσεβείας· ὡς εὐσεβείας ἐραστὴς ὑπὲρ Χριστοῦ ἐναθλήσας, ὡς ἄνθος εὐῶδες καὶ ὑπέρλαμπρος προσφέρεται τῷ τρισηλίῳ Θεῷ, οὐκ ἐξ ἀνθέων εὐῶδες ἐκ Παραδείσου βλαστάνων, ἀλλ᾽ ἐξ οἰκείων αἱμάτων, ὡς μῦρον εὐῶδες διηνθισμένος· καὶ πρεσβεύει αὐτῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΡΑΤΟΥ ΦΗΚΗ

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε.

**Δοξολογία Μεγάλη, καὶ ἀπόλυσις.**

Εἰς τὴν λειτουργίαν, τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου, Ὠδὴ γ'. καὶ ς'.

**Ὁ Ἀπόστολος. Προκείμενον. Ἦχος βαρύς.**

Στ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Στ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ἡμῶν.

**Ἀλληλούϊα. Ἦχος β'.**

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ζήτει Ἀπριλίου κγ'. (23).

www.tezaurliturgic.ro



**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάρια.**

Ἄνθος ἐκ Βιθυνίας φυεὶς τερπνόν, ἄθλοις Μαρτυρίου, εὐωδιάσας νοητῶς, τοὺς πιστοὺς πάντας ῥῦσαι ἐκ κινδύνων, ψυχῶν τε καὶ σωμάτων τρισόλβιε Ἄνθιμε.

Τὸν ἐν Ἱερεῦσιν Ἱερουργόν, μύστην τοῦ δεσπότου, καὶ ἐν μάρτυσι θαυμαστόν, φύλαττε εὐχαῖς σου πάντας τοὺς σὲ τιμῶντας, καὶ ῥῦσαι αἰωνίως, παντοίας καταδίκης, Ἄνθιμε ἔνδοξε.

ΓΕΝΝΑΔΕ